Οικουμενικον Πατριαρχειον Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 22 Νοεμβρίου 2026

Κυριακὴ Θ΄ Λουκᾶ

Μεθεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου. Μνήμη τῶν Ἁγίων Ἀποστόλων Φιλήμονος, Ἀρχίππου, Ἀπφίας καὶ Ὀνησίμου, μαθητῶν Ἀπ. Παύλου καὶ τοῦ Ὁσίου Ἰακώβου τοῦ ἐν Εὐβοίᾳ

Ἑωθινὸν Εὐαγγέλιον Γ΄ (Μκ ις΄: 9–20)

Καταβασίαι τῆς Χριστοῦ Γεννήσεως. Ἦχος α΄

ὨΙδὴ α΄

Χριστὸς γεννᾶται, δοξάσατε·Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

ὨΙδὴ γ΄

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

ὨΙδὴ δ΄

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός, Δόξα τῇ δυνάμει Σου, Κύριε.

ὨΙδὴ θ΄

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ Σπήλαιον, θρόνον Χερουβικὸν τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλήθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἦχος β΄

Zu den Quellen

Sonntag, 22. November 2026

Neunter Lukassonntag

Nachfest des Tempelgangs der allheiligen Gottesgebärerin. Gedächtnis der hl. Apostel Philemon, Archippus, Apphia und Onesimus, Schüler des Ap. Paulus, und des ehrwürdigen Jakobus von Euböa.

Morgenevangelium III (Mk 16,9–20)

Katavasien von Christi Geburt. Erster Ton

1. Ode

Christus wird geboren, preist Ihn! Christus kommt vom Himmel, eilt Ihm entgegen! Christus ist auf Erden, erhebt euch! Singt dem Herrn, alle Lande, und singt Ihm im Jubel, ihr Völker, denn Er hat Sich verherrlicht.

3. Ode

Dem Sohn, Der vor den Zeiten unvergänglich vom Vater gezeugt und in den letzten Tagen ohne Samen von der Jungfrau Fleisch geworden ist, Christus, Gott, wollen wir rufen: Der Du unser Horn erhöht hast, heilig bist Du, o Herr.

4. Ode

Reis aus der Wurzel Isais und Blüte aus ihr, o Christus, bist Du aus der Jungfrau entsprossen, vom schattigen, dicht bewaldeten Berge bist Du Gekommener, Fleisch geworden aus der Jungfrau, Der Du ohne Materie und Gott bist. Ehre sei Deiner Macht, o Herr.

9. Ode

Ein fremdes und wunderbares Geheimnis schaue ich! Die Höhle ist der Himmel, der Thron der Cherubim die Jungfrau, die Krippe der Raum, in dem Christus, Gott, Der Unumfassbare, gelegen hat; Ihn

Ἦν πάλαι προκατήγγειλε τῶν Προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς ἀνευφημήσωμεν· σήμερον γὰρ εἰσάγεται, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ἀνατραφῆναι Κυρίῳ

Στιχηρὸν Ἀναστάσιμον. Ἦχος πλ. δ΄

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος· καὶ ἀναστὰς ἐκ νεκρῶν, τὸν κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς οἰκτίρμων καὶ Φιλάνθρωπος.

Στιχηρὰ τῆς ἑορτῆς. Ἦχος α΄

Λαμπαδηφόροι παρθένοι, τὴν Ἀειπάρθενον φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως ἐν Πνεύματι τὸ μέλλον· ναὸς γὰρ Θεοῦ ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν ναόν μετὰ δόξης παρθενικῆς, νηπιόθεν ἐμβιβαζεται.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεής, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ κόσμῳ, ὡς ὑπερτέρα· ἣ εὐσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη θείῳ Πνεύματι.

Ἐπουρανίῳ τραφεῖσα Παρθένε ἄρτῳ πιστῶς ἐν τῷ Ναῷ Κυρίου, ἀπεκύησας κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον, οὗ ὡς ναός, ἐκλεκτὸς καὶ πανάμωμος, προεμνηστεύθης τῷ Πνεύματι μυστικῶς νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

Ἐξανοιγέσθω ἡ πύλη, τοῦ θεοδόχου Ναοῦ· τὸν γὰρ ναὸν τοῦ πάντων Βασιλέως καὶ θρόνον σήμερον ἐν δόξῃ, ἔνδον λαβών, Ἰωακεὶμ ἀνατίθεται, ἀφιερώσας Κυρίῳ τὴν ἐξ Αὐτοῦ, ἐκλεχθεῖσαν ὡς Μητέρα Αὐτοῦ.

Δοξαστικόν. Ἦχος γ΄

Τῆς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐκ νεκρῶν Ἀνάστασιν καὶ ἐμφάνειαν, διαπιστοῦντες οἱ Μαθηταί, ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν· ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες καὶ θαύμασι, πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο· καὶ Σὺ μὲν Κύριε, πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης Πατέρα, οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον, τοῖς θαύμασι πιστούμενοι.

lobpreisend rühmen wir groß.

Exaposteilarion. Zweiter Ton

Die einst der Chor der Propheten vorausverkündete als Krug, Stab und Tafel und unbehauenen Berg, Maria, die Gottgebärerin, lasst uns gläubig jubelnd preisen! Denn heute wird sie in das Allerheiligste eingeführt, um dort vom Herrn erzogen zu werden.

Auferstehungs-Sticheron. Achter Ton

O Herr, wenn Du auch vor das Gericht gestellt wurdest, gerichtet von Pilatus, so bist Du doch nicht von Deinem Thron gewichen, auf dem Du mit dem Vater sitzest; und von den Toten auferstanden, hast Du die Welt aus der Knechtschaft des Fremden befreit als Barmherziger und Menschenfreund.

Stichera des Festes. Erster Ton

Lampentragende Jungfrauen, die der Immerjungfrau heiter den Weg bereiten, prophezeien wahrhaft im Geist das Zukünftige; denn da die Gottesgebärerin Tempel Gottes ist, wird sie von Kindheit an mit jungfräulicher Herrlichkeit zum Tempel geführt.

Als ruhmreiche Frucht einer heiligen Verheißung erwies sich die Gottesgebärerin wahrhaft der Welt als die Erhabenere; sie, die voll Ehrfurcht in das Haus Gottes gebracht wird, erfüllt das Gebet ihrer Erzeuger und wird durch den Göttlichen Geist bewahrt.

Nährend durch himmlisches Brot, o Jungfrau, gläubig im Tempel des Herrn, hast du der Welt das Brot des Lebens, das Wort, geboren, dessen auserwählter und makelloser Tempel du im Geist geheimnisvoll verlobt wurdest mit Gott und Vater.

Es öffne sich das Tor des Gott aufnehmenden Tempels; denn den Tempel des Königs aller Dinge und Thron übergibt Joachim heute in Herrlichkeit im Inneren, indem er die aus Ihm Erwählte als Seine Mutter dem Herrn weiht.

Doxastikon. Dritter Ton

Als die Jünger der Maria Magdalena nicht glaubten, die die Auferstehung des Erlösers aus den Toten und Seine Erscheinung verkündete, wurden sie wegen der Härte ihres Herzens getadelt; aber mit Zeichen und Wundern gewappnet, wurden sie zur Verkündigung ausgesandt; und Du, o Herr, bist zum erstlichten Vater aufgefahren, sie aber verkündeten überall das

Διὸ οἱ φωτισθέντες δι' αὐτῶν δοξάζομέν Σου, τὴν ἐκ νεκρῶν Ἀνάστασιν, φιλάνθρωπε Κύριε.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος πλ. δ΄

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα Σοι.

Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἦχος δ΄

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν Ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Ἀπολυτίκιον τοῦ Ναοῦ. Ἦχος πλ. δ΄

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα Σοι.

Κοντάκιον. Ἦχος β΄

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Προκείμενον. Ἦχος πλ. δ΄

Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Ἀποστολικὸν Ἀνάγνωσμα (Ἐφ β΄: 4–10)

Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ· χάριτί ἐστε σεσῳσμένοι· καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς οὐρανίοις ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. Τῇ γὰρ

Wort, das durch Zeichen bekräftigt wurde. Darum verherrlichen wir, die durch sie Erleuchteten, Deine Auferstehung aus den Toten, o menschenliebender Herr.

Auferstehungsapolytikion. Achter Ton

Aus der Höhe bist Du herabgestiegen, Erbarmungsvoller, eine dreitägige Grablegung hast Du auf Dich genommen, um uns von den Leiden zu befreien. Unser Leben und unsere Auferstehung, o Herr, Ehre sei Dir.

Apolytikion des Festes. Vierter Ton

Heute ist das Präludium des Wohlgefallens Gottes und die Ankündigung des Heils der Menschen. Im Tempel Gottes zeigt sich deutlich die Jungfrau und kündigt allen Christus im Voraus an. Auch wir wollen ihr laut rufen: Sei gegrüßt, Erfüllung des Heilsplans des Schöpfers.

Apolytikion der Kirche. Achter Ton

Gepriesen bist Du, Christus, unser Gott, Der Du die Fischer zu Allweisen gemacht hast, indem Du ihnen den Heiligen Geist herabgesandt und durch sie den Erdkreis gefangen hast, Menschenfreund, Ehre sei Dir.

Kontakion. Zweiter Ton

Der reinste Tempel des Erlösers, das kostbare Gemach und die Jungfrau, der heilige Schatz der Herrlichkeit Gottes, wird heute in das Haus des Herrn eingeführt und bringt die Gnade im Göttlichen Geist mit sich; sie besingen die Engel Gottes: Sie ist das himmlische Zelt.

Prokeimenon. Achter Ton

Legt Gelübde ab und erfüllt sie dem Herrn, eurem Gott!

Vers: Bekannt ist Gott in Judäa, in Israel ist Sein Name groß.

Apostellesung (Eph 2,4–10)

Brüder, Gott, Der reich ist an Erbarmen, hat uns durch Seine große Liebe, mit der Er uns geliebt hat, auch als wir tot waren durch die Übertretungen, zusammen mit Christus lebendig gemacht – aus Gnade seid ihr gerettet –; Er hat uns mitauferweckt und miteingesetzt im Himmel in Christus Jesus, damit Er in den kommenden Zeiten den überfließenden

χάριτί ἐστε σεσῳσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Εὐαγγέλιον. (Λκ ιβ΄: 16–21)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα· καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; Καὶ εἶπε· τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου. Εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας τίνι ἔσται; οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς Θεὸν πλουτῶν. Ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Reichtum Seiner Gnade in Güte an uns in Christus Jesus erweise. Denn aus Gnade seid ihr gerettet durch den Glauben, und das nicht aus euch, Gottes Gabe ist es, nicht aus Werken, damit sich nicht jemand rühme. Denn wir sind Sein Werk, erschaffen in Christus Jesus zu guten Werken, die Gott im Voraus bereitet hat, damit wir in ihnen wandeln.

Evangelium (Lk 12,16–21)

Der Herr erzählte dieses Gleichnis: Das Land eines reichen Mannes trug viel Frucht. Und er überlegte bei sich selbst und sprach: Was soll ich tun, da ich keinen Platz habe, wo ich meine Früchte sammeln kann? Und er sprach: Das will ich tun: Ich will meine Scheunen abbrechen und größere bauen und dort all mein Getreide und meine Güter sammeln und zu meiner Seele sagen: Seele, du hast viele Güter liegen für viele Jahre; ruhe dich aus, iss, trink, sei guten Mutes! Gott aber sprach zu ihm: Du Narr! In dieser Nacht wird man deine Seele von dir fordern; was du aber vorbereitet hast, wem wird es gehören? So geht es dem, der für sich Schätze sammelt und nicht reich ist vor Gott. Als Er dies sagte, rief Er: Wer Ohren hat zu hören, der höre!

Πῶς θὰ γίνωμε πλούσιοι

Ἂν ζοῦμε μόνον γιὰ νὰ φροντίζωμε τὰ ὑπάρχοντά μας, ξεχνοῦμε τοὺς ἀδελφούς μας καὶ τὸν ἴδιο τὸν Χριστό. Τὰ ἀγαθὰ τοῦ κόσμου τούτου δὲν εἶναι πλέον «δικά μας» ὅταν ἡ ψυχὴ θὰ χωρισθεῖ ἀπὸ τὸ σῶμα. Ἀληθινὸς πλοῦτος μας εἶναι νὰ ζητοῦμε μὲ πίστη καὶ ταπείνωση τὴν χάρι καὶ τὸ ἔλεος τοῦ Θεοῦ· ὄχι γιατὶ τὸ ἀξίζομε οὔτε ὡς ἀμοιβὴ γιὰ τὰ ἔργα μας ἀλλὰ ὡς δῶρο τῆς ἀγάπης Του γιὰ μᾶς.

Wie wir reich werden

Wenn wir nur leben, um uns um unseren Besitz zu kümmern, vergessen wir unsere Brüder und Christus Selbst. Die Güter dieser Welt sind nicht mehr „unsere“, wenn die Seele vom Leib getrennt wird. Unser wahrer Reichtum besteht darin, mit Glauben und Demut die Gnade und das Erbarmen Gottes zu suchen; nicht weil wir es verdienen oder als Lohn für unsere Werke, sondern als Geschenk Seiner Liebe zu uns.

Ἡ Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
https://www.metropolisvonaustria.at
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23.06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW